3. *Πρὸς δὲ Φίλιππον τὸν ὀρφεοτελεστὴν παντελῶς πτωχὸν ὄντα, λέγοντα δ' ὅτι οἱ παρ' αὐτῷ μυηθέντες μετὰ τὴν τοῦ βίου τελευτὴν εὐδαιμονοῦσι, 'τί οὖν, ὦ ἀνόητε' εἶπεν, 'οὐ τὴν ταχίστην ἀποθνῄσκεις, ἵν' ἅμα παύσῃ κακοδαιμονίαν καὶ πενίαν κλαίων;'*

4. *Πυθομένου δέ τινος διὰ τί τὰ ἀπὸ τῶν πολεμίων ὅπλα τοῖς θεοῖς οὐκ ἀνατιθέασιν, 'ὅτι' ἔφη 'τὰ διὰ τὴν δειλίαν τῶν κεκτημένων θηραθέντα οὔτε τοὺς νέους ὁρᾶν καλὸν οὔτε τοῖς θεοῖς ἀνατιθέναι.'*

## *ΛΕΩΝ Ο ΕΥΡΥΚΡΑΤΙΔΑ*

1. *Λέων ὁ Εὐρυκρατίδα ἐρωτηθείς, ποίαν τις ἂν πόλιν* F *οἰκήσας ἀσφαλῶς οἰκοίη, 'ὅπου' ἔφη 'μήτε πλείω μήτε ἐλάσσονα κεκτήσονται οἱ ἐνοικοῦντες· καὶ ὅπου τὸ μὲν δίκαιον ἰσχύσει, τὸ δ' ἄδικον ἀσθενὲς ἔσται.'*

2. *Ὁρῶν δὲ τοὺς ἐν Ὀλυμπίᾳ δρομεῖς σπουδάζοντας περὶ τὴν ἄφεσιν ἵνα πλεονεκτήσωσιν, 'ὅσῳ μᾶλλον' ἔφη 'οἱ δρομεῖς σπουδάζουσι περὶ τῆς ταχυτῆτος ἢ περὶ τῆς δικαιοσύνης.'*

3. *Ἀκαίρως δέ τινος περὶ πραγμάτων οὐκ ἀχρήστων διαλεχθέντος, 'ὦ ξένε' εἶπεν, 'οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι.'*

## *ΛΕΩΝΙΔΑΣ Ο ΑΝΑΞΑΝΔΡΙΔΑ*

1. *Λεωνίδας ὁ Ἀναξανδρίδα, ἀδελφὸς δὲ Κλεομένους,* 225 *πρός τινα εἰπόντα | 'πλὴν τοῦ βασιλεύειν οὐδὲν ἡμῶν*